# FRAGMENTA A FABVLAE PARTE PRIORE SVMPTA

## 1 (1 Koerte)

Choricius xlii, *decl.*. 12, p. 509 Foerster–Richtsteig. *ἔχεις ἐκ τῆς κωμωιδίας παραλαβών, ὡς ὑπέρογκόν τι καὶ σοβαρὸν καὶ πολλή τις ἀλαζονεία στρατιώτης ἀνήρ. εἴ τις ὑμῶν τὸν Μενάνδρου φαντάζεται Θρασωνίδην, οἶδεν ὃ λέγω. στρατιωτικὴν γάρ φησιν ἀηδίαν νοσοῦντα τὸν ἄνθρωπον εἰς ἀπέχθειαν αὑτῷ κινῆσαι τὴν ἐρωμένην· καὶ γέγονεν ἀμέλει προσηγορία τῶι δράματι τοῦ Θρασωνίδου τὸ μῖσος.*

## 2 (3 K)

Arrianus, *diss. Epicteti* iv. 1. 19. *ὅρα ἃ λέγει καὶ ποιεῖ ὁ Θρασωνίδης, ὃς τοσαῦτα στρατευσάμενος ὅσα τάχα οὐδὲ σύ, πρῶτον μὲν ἐξελήλυθε νυκτός, ὅτε ὁ Γέτας οὐ τολμᾶι ἐξελθεῖν, ἀλλ' εἰ προσηναγκάζετο ὑπ' αὐτοῦ πόλλ' ἂν ἐπικραυγάσας καὶ τὴν πικρὰν δουλείαν ἀπολοφυράμενος ἐξῆλθεν. εἶτα τί λέγει;*

*παιδισκάριόν με καταδεδούλωκ' εὐτελές,*
*ὃν οὐδὲ εἷς τῶν πολεμίων ⟨οὐ⟩πώποτε.*

*. . . εἶτα ξίφος αἰτεῖ καὶ πρὸς τὸν ὑπ' εὐνοίας μὴ διδόντα χαλεπαίνει καὶ δῶρα τῆι μισούσηι πέμπει καὶ δεῖται καὶ κλαίει, πάλιν δὲ μικρὰ εὐημερήσας ἐπαίρεται.*

## 3 (9 K)

Bekkeri *Anecdota* 428. 27.

*τί οὐ καθεύδεις; σύ μ' ἀποκναίεις περιπατῶν.*

*Μένανδρος Μισουμένωι.*

## 4 (11 K)

Scholion Patmense in Demosthenem (*BCH* i. 10). *κἄν· τὸ παρὰ Μενάνδρωι ἐν δράματι Μισουμένωι·*

*εἴσελθε κἂν νῦν, ὦ μακάριε.*